## *Συναξάριον*

Τῇ ια΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν Ἁγίων Ὁσιομαρτύρων Ὀλυμπίας καὶ Εὐφροσύνης τῶν ἐν τὴν ἱερὰν Μονὴν τῶν Καρυῶν Θέρμης Λέσβου, ἀθλησάντων ἐν ἔτει 1235.΄

*Ὁσίως βιώσασα ἡ Ὀλυμπία,*

*Χειρὶ πειρατῶν Μάρτυς ὤφθη Κυρίου.*

*Ἑνδεκάτῃ Ὀλυμπία δυσηλεγῆ τέτληκε μῦρον.*

Ἡ μακαρία Ὀλυμπία ἐγεννήθη ἐν Πελοποννήσῳ, ἐν ἔτει 1200 ἐκ γονέων εὐσεβῶν, καταγομένων ἐκ Κωνσταντινουπόλεως. Ὁ πατὴρ αὐτῆς ἦν ἱερεύς, ἡ δὲ μήτηρ θυγάτηρ ἱερέως, μετοικήσαντες ἐν τῇ τοῦ Πέλοπος ἄγνωστον πότε καὶ διατί. Τῷ δεκάτῳ ἔτει τῆς ἡλικίας ἀποφαρνισθεῖσα γονέων, τέλει βίου χρησαμένων, ἀπέσταλται ὑπὸ τῶν προσηκόντων αὐτῇ, τῇ Μονῇ τῶν Καρυῶν λεγομένην, κειμένην παρὰ τὴν Θέρμην τῆς νήσου Λέσβου, ἔνθα ἡ ἡγουμένη καὶ πρὸς μητρὸς αὐτῆς θεία, ὀνόματι Δωροθέα, καὶ ὁλοκλήρως ἀφιερώθη τῷ Θεῷ. Τὸ 19ον ἔτος τῆς ἡλικίας ἤδη ἄγουσα, ἐκάρη μοναχή, ἐν ἔτει 1219ῳ, καὶ τῷ 25ῳ ἔτει, θανούσης τῆς ἡγουμένης Δωροθέας, ἐγένετο ἡγουμένη τῆς αὐτῆς Μονῆς ἐν ἔτει 1225. Παρεληλυθότων 10 ἐνιαυτῶν, τῇ 11 Μαΐου τοῦ ἔτους 1235, πειρατῶν σμῆνος ἐπιδραμὸν τῇ Μονῇ, δίκην ἀγρίων λύκων, διεσκόρπισαν αὐτήν, δηωσάντων καὶ καταστρεψάντων πάντα. Τότε ἦσαν ἀσκούμεναι 30 μονάστριαι, ἐξ ὧν τινες ἠτιμάσθησαν ὑπὸ τῶν ἀνημέρων βαρβάρων, αἱ δὲ λοιπαί, φυγῇ χρησάμεναι, ᾤχοντο πρὸς τὰ ὄρη. Ἀλλ’ ἡ Ὀλυμπία, ὡς ἡγουμένη, παραμείνασα μετά τινος ἀδελφῆς προβεβηκυίας τῇ ἡλικίᾳ, ᾗ ὄνομα Εὐφροσύνη, ὑπέστησαν τὴν λυσσώδη τῶν βαρβάρων ἔφοδον· τὴν γὰρ Εὐφροσύνην αἰωρήσαντες ἐκ δένδρου, παρέδοσαν τῷ πυρί, τῆς δὲ μακαρίας Ὀλυμπίας δι’ ἀνημμένων λαμπάδων ἔκαιον τὸ σῶμα· εἶτα πυρώσαντες σιδηρὰν ῥάβδον, διέτρωσαν διαμπὰξ τὰ ὦτα αὐτῆς, καὶ οὕτως ἐτελειώθη ἡ μαρτυρία αὐτῆς. Τότε, οἱ βαρβαρικῆς μανίας ἔμπλεοι πειραταί, λαβόντες τὸ σῶμα τῆς Μάρτυρος, προσήλωσαν αὐτὸ ἐπί τινος σανίδος, καὶ οὕτως ἐνεταφιάσθη, μετὰ τὴν φυγὴν τῶν βαρβάρων, ὑπὸ τῶν πιστῶν χριστιανῶν, ἀδυνατούντων ἀποκαθηλῶσαι αὐτό· ἐκόπτοντο γὰρ αἱ σάρκες τῆς μακαρίας ἐν τῇ ἐξαγωγῇ τῶν ἥλων, οἵτινες ἦσαν 20, ὡς εἶτα εὑρέθησαν μετὰ τῶν ὀστῶν τῆς Μάρτυρος, ἐν τῇ ἀνερεύσει τοῦ τάφου αὐτῆς.

Ταῦτα πάντα ἐτέλουν ἀφανῆ καὶ ἄγνωστα τῇ Ἐκκλησίᾳ, τάφῳ σιγῆς καλυπτόμενα, καὶ λήθης βυθῷ κεχωσμένα, δι’ ἐπελθούσας συμφορᾶς τῷ Γένει ἡμῶν, καὶ πλείστας ἀτάκτων ἐθνῶν ἐπιδρομάς. Ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τούτων, θείᾳ εὐδοκίᾳ, ἀπεκαλύφθησαν ἡμῖν, ὅτε ἐν ἔτει 1959, ἐνεφανίσθησαν οἱ Ἅγιοι Ῥαφαὴλ καὶ Νικόλαος, οἱ ἐκεῖσε ἀσκήσαντες καὶ ἀθλήσαντες. Τότε ἐνεφανίσθη καὶ ἡ Ὁσιομάρτυς Ἁγία Ὀλυμπία εὐλαβεῖ τινι νέῳ, καὶ ἐξεῖπεν αὐτῷ πάντα τὰ ἑαυτῆς· τὴν κλῆσιν, τὸ τῆς πατρίδος ὄνομα καὶ τὰ λοιπὰ ὡς ἀνωτέρω ἱστόρηνται. Εἶτα ὤφθη καὶ ἑτέροις προσώποις καὶ κατ’ ὄναρ καὶ καθ’ ὕπαρ. Μετὰ ταῦτα ἄνευρον καὶ τὸν τάφον αὐτῆς, ἔνθα τὰ ὀστᾶ μετὰ τῶν 20 μεγάλων σιδηρῶν ἥλων, δι’ ὧν καθηλώθη, λαβόντες ἄνωθεν τὴν πληροφορίαν ὅτι ταῦτα εἰσὶν Ὀλυμπίας τῆς Ὁσιομάρτυρος.

www.tezaurliturgic.ro